Selección de textos de Anábasis, Libro I

1º Trimestre

*Para consultar los textos y localizar formas de los mismos:
http://www.perseus.tufts.edu/hopper/text.jsp?doc=Perseus%3Atext%3A1999.01.0201%3Abook%3D1%3Achapter%3D1%3Asection%3D1

* Los alumnos traducirán los textos que estén anotados

Libro I

I, 1, 1. Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος: ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι.

I, 1, 2. ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανε: Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι ἐς Καστωλοῦ πεδίον ἀθροίζονται…

I, 1, 3. ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν ὡς ἐπιβουλεύοι αὐτῷ. ὁ δὲ πείθεται καὶ συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν: ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν.

I, 1, 4. ὁ δ᾽ ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλά, ἢν δύνηται, βασιλεύσει ἀντ᾽ ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην.

I, 1, 7. .. ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν

καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα.

I, 1, 9… Κλέαρχος Λακεδαιμόνιος φυγὰς ἦν· τούτῳ συγγενόμενος ὁ Κῦρος ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς. ὁ δὲ λαβὼν τὸ χρυσίον στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων καὶ ἐπολέμει ἐκ Χερρονήσου ὁρμώμενος τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας…:

Texto 1: Ciro pide a los exiliados de Mileto que se unan a él a cambio de restituirlos a su patria

I, 2, 2. ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς καταπράξειεν[1] ἐφ᾽ ἃ ἐστρατεύετο[2], μὴ πρόσθεν παύσεσθαι[3] πρὶν αὐτοὺς καταγάγοι[4] οἴκαδε…

[1] 3ª p. sing. Aoristo Optativo, optativo oblicuo, se traduce como un imperfecto.
[2] **ἐφ᾽ ἃ ἐστρατεύετο**: "aquellas cosas por las que militaba".
[3] Inf. Futuro de **παύω**, depende de un verbo que implica una promesa en el futuro.
[4] 3ª p. sing. Aor. Optativo de **κατάγω**, optativo oblicuo

I, 2, 5… Κῦρος δὲ ἔχων οὓς εἴρηκα ὡρμᾶτο ἀπὸ Σάρδεων: καὶ ἐξελαύνει διὰ τῆς Λυδίας σταθμοὺς τρεῖς παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν…

Texto 2: A través de Frigia, Ciro llega a la ciudad de Colosas

I, 2, 6. τοῦτον διαβὰς[1] ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην καὶ εὐδαίμονα καὶ μεγάλην. ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά:…

[1] Participio de Aoristo activo de **διαβαίνω**

I, 2, 7… ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός:…

Texto 3: Ciro permanece en la ciudad de Celenas donde acude Clearco

I, 2, 9. ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα: καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος φυγὰς ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους…

I, 2, 10. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Πέλτας, πόλιν οἰκουμένην. ἐνταῦθ᾽ ἔμεινεν ἡμέρας τρεῖς, ἐν αἷς Ξενίας ὁ Ἀρκὰς τὰ Λύκαια ἔθυσε καὶ ἀγῶνα ἔθηκε: τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ: ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος.

Texto 4: Ciro llega a la ciudad llamada Mercado-Alfarero y desde allí avanza hasta Caistro

I, 2, 11. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δώδεκα ἐς Κεράμων ἀγοράν, πόλιν οἰκουμένην, ἐσχάτην πρὸς τῇ Μυσίᾳ χώρᾳ. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας

τριάκοντα εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. ἐνταῦθ᾽ ἔμεινεν ἡμέρας πέντε: …

I, 2, 12. ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως παρὰ Κῦρον: καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. τῇ δ᾽ οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. εἶχε δὲ ἡ Κίλισσα φυλακὴν [καὶ φύλακας] περὶ

αὐτὴν Κίλικας καὶ Ἀσπενδίους: ἐλέγετο δὲ καὶ συγγενέσθαι Κῦρον τῇ Κιλίσσῃ.

Texto 5: Ciro llega a la ciudad de Timbrio, donde está la fuente de Midas, rey de Frigia

I, 2, 13. ἐντεῦθεν δὲ ἐλαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ᾽ ᾗ[1] λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας αὐτήν.

[1] Preposición **ἐπί** aspirada debido al contacto con el espíritu áspero del pronombre.

I, 2, 15. ἐκέλευσε δὲ τοὺς Ἕλληνας ὡς νόμος αὐτοῖς εἰς μάχην οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δ᾽ ἕκαστον τοὺς ἑαυτοῦ. ἐτάχθησαν οὖν ἐπὶ τεττάρων: εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί.

Texto 6: Ciro ordena que coloquen sus armas en formación de guardia y así avancen

I, 2, 17… ἐκέλευσε προβαλέσθαι[1] τὰ ὅπλα καὶ ἐπιχωρῆσαι[2] ὅλην τὴν φάλαγγα. οἱ δὲ ταῦτα προεῖπον τοῖς στρατιώταις: καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλόμενοι τὰ ὅπλα ἐπῇσαν…

[1] Infinitivo de aoristo
[2] Infinitivo de aoristo

Texto 7: Sienesis abandona los desfiladeros al enterarse de que Menón está en Cilicia

I, 2, 21… τῇ δ᾽ ὑστεραίᾳ ἧκεν ἄγγελος λέγων ὅτι λελοιπὼς εἴη[1] Συέννεσις τὰ ἄκρα, ἐπεὶ ᾔσθετο ὅτι τὸ Μένωνος στράτευμα ἤδη ἐν Κιλικίᾳ ἦν εἴσω τῶν ὀρέων[2] , …

[1] **λελοιπὼς εἴη**: 3ª p. sing. Perf. Opt. Act. de **λείπω** . Optativo oblicuo "había abandonado".
[2] Gent. Pl. de **ὄρος**, sin contracción por caída de sigma.

Texto 8: Ciro, sin que nadie se lo impida, sube a las montañas donde contempla las tiendas de los cilicios

I, 2, 22. Κῦρος δ᾽ οὖν ἀνέβη ἐπὶ τὰ ὄρη οὐδενὸς κωλύοντος[1] , καὶ εἶδε τὰς σκηνὰς οὗ[2] οἱ Κίλικες ἐφύλαττον. ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα καὶ καλόν, ἐπίρρυτον, καὶ δένδρων παντοδαπῶν σύμπλεων καὶ ἀμπέλων: …

[1] **οὐδενὸς κωλύοντος**, Genitivo Absoluto.
[2] Adverbio relativo.

Texto 9: Los habitantes de la ciudad huyen con Sinesias, excepto algunos

I, 2, 24. ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες μετὰ Συεννέσιος εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη[1] πλὴν οἱ τὰ καπηλεῖα ἔχοντες: ἔμειναν δὲ καὶ οἱ παρὰ τὴν θάλατταν οἰκοῦντες ἐν Σόλοις καὶ ἐν Ἰσσοῖς.

[1] Neu. Pl. de **ὄρος,** tras contracción por caída de la silbante.

Texto 10: Sienesis y Ciro se encuentran y ofrecen regalos

I, 2, 27. μετὰ δὲ ταῦτα ἐπεὶ συνεγένοντο[1] ἀλλήλοις, Συέννεσις μὲν ἔδωκε[2] Κύρῳ χρήματα πολλὰ εἰς τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ δῶρα ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, …

[1] 3ª p. pl. aor. de **συγγίγνομαι**.
[2] 3ª p. sing. aor. de **δίδωμι**

I, 3, 4. καὶ πρῶτον μὲν πρὸς τοὺς Θρᾷκας ἐπολέμησα, καὶ ὑπὲρ τῆς Ἑλλάδος ἐτιμωρούμην μεθ᾽ ὑμῶν, ἐκ τῆς Χερρονήσου αὐτοὺς ἐξελαύνων βουλομένους ἀφαιρεῖσθαι τοὺς ἐνοικοῦντας Ἕλληνας τὴν γῆν…

I, 4, 2… ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς: καὶ Κύρῳ παρῆσαν αἱ ἐκ Πελοποννήσου νῆες τριάκοντα καὶ πέντε καὶ ἐπ᾽ αὐταῖς ναύαρχος Πυθαγόρας Λακεδαιμόνιος. ἡγεῖτο δ᾽ αὐταῖς Ταμὼς Αἰγύπτιος ἐξ Ἐφέσου, ἔχων ναῦς ἑτέρας Κύρου πέντε καὶ εἴκοσιν, αἷς ἐπολιόρκει Μίλητον, ὅτε Τισσαφέρνει φίλη ἦν, καὶ συνεπολέμει Κύρῳ πρὸς αὐτόν.

Texto 11: Abrocomas deja Fenicia y marcha junto al Rey

I, 4, 5… Ἀβροκόμας δὲ οὐ τοῦτ᾽ ἐποίησεν, ἀλλ᾽ ἐπεὶ ἤκουσε Κῦρον ἐν Κιλικίᾳ ὄντα[1], ἀναστρέψας ἐκ Φοινίκης παρὰ βασιλέα ἀπήλαυνεν, ἔχων, ὡς ἐλέγετο[2], τριάκοντα μυριάδας στρατιᾶς.

---

[1] **Κῦρον ἐν Κιλικίᾳ ὄντα**, "que Ciro estaba en Cilicia".
[2] **ὡς ἐλέγετο**, "como se decía".

Texto 12: Ciro avanza hasta el río Calo, lleno de peces sagrados

I, 4, 9… μετὰ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας παρασάγγας εἴκοσιν ἐπὶ τὸν Χάλον ποταμόν, ὄντα τὸ εὖρος πλέθρου[1], πλήρη δ᾽ ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων[2], …

---

[1] **ὄντα τὸ εὖρος πλέθρου**, "con una anchura de un pletro".
[2] 3ª p. pl. Imp. Ind. de **ἐάω.**

I, 4, 10… ἐνταῦθα ἦσαν τὰ Βελέσυος βασίλεια τοῦ Συρίας ἄρξαντος, καὶ παράδεισος πάνυ μέγας καὶ καλός, ἔχων πάντα ὅσα ὧραι φύουσι. Κῦρος δ᾽ αὐτὸν ἐξέκοψε καὶ τὰ βασίλεια κατέκαυσεν.

I, 4, 11… ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε. καὶ Κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα: καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις καὶ ἀναπείθειν ἕπεσθαι.

2º Trimestre

*Para consultar los textos y localizar formas de los mismos:
http://www.perseus.tufts.edu/hopper/text.jsp?doc=Perseus%3Atext%3A1999.01.0201%3Abook%3D1%3Achapter%3D1%3Asection%3D1

*Los alumnos traducirán los textos anotados

I, 4, 18… οἱ δὲ Θαψακηνοὶ ἔλεγον ὅτι οὐπώποθ᾽ οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ εἰ μὴ τότε, ἀλλὰ πλοίοις, ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ…

Texto 1: Ciro avanza a través de Arabia hasta llegar a un lugar completamente llano.

I, 5, 1. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων σταθμοὺς ἐρήμους πέντε παρασάγγας τριάκοντα καὶ πέντε. ἐν τούτῳ δὲ τῷ <u>τόπῳ</u> ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὲς ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες: …

1.- Derivados etimológicos de la palabra subrayada y de **ἄνθρωπος**

Texto 2: En este lugar hay fieras, y entre ellas unos onagros que corren más que los caballos.

I, 5, 2… ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον. καὶ οἱ μὲν ὄνοι, ἐπεί τις διώκοι[1], προδραμόντες ἔστασαν: πολὺ γὰρ τῶν ἵππων[2] ἔτρεχον θᾶττον: καὶ πάλιν, ἐπεὶ πλησιάζοιεν[1] οἱ ἵπποι, ταὐτὸν[3] ἐποίουν, …

[1] Optativo oblicuo
[2] 2º término de la comparación

[3] = **τὸ αὐτόν**

1.- Derivados etimológicos de **ἀρχή** y de **βίος**

Texto 3: Llegan hasta el río Masca, que baña la ciudad de Corsota.

I, 5, 4. πορευόμενοι δὲ διὰ ταύτης τῆς χώρας ἀφικνοῦνται ἐπὶ τὸν Μάσκαν ποταμόν, τὸ εὖρος πλεθριαῖον. ἐνταῦθα ἦν πόλις ἐρήμη, μεγάλη, ὄνομα δ᾽ αὐτῇ Κορσωτή: περιερρεῖτο[1] δ᾽ αὕτη ὑπὸ τοῦ Μάσκα[2] κύκλῳ.

[1] Voz pasiva
[2] Entiéndase que va en genitivo

1.- Derivados etimológicos de la palabra subrayada y de **γῆ**

Texto 4: Avanzando con el Éufrates a la derecha, Ciro pierde acémilas en su camino hacia Pilas

I, 5, 5. ἐνταῦθ᾽ ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς ἐρήμους τρισκαίδεκα παρασάγγας ἐνενήκοντα τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο[1] ὑπὸ λιμοῦ:…

[1] 3ªp. sing. Aor. de **ἀπόλλυμι**

1.- Derivados etimológicos de **λίθος** y de **λόγος**

Texto 5: Al otro lado del Éufrates está la ciudad de Carmanda.

I, 5, 10. πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ κατὰ τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ Χαρμάνδη: ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε…

1.- Derivados etimológicos de **νόμος** y de **πάθος**

Texto 6: Clearco, tras contemplar el mercado, vuelve a su tienda a través del campamento de Menón

I, 5, 12. τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν διάβασιν τοῦ ποταμοῦ καὶ ἐκεῖ κατασκεψάμενος τὴν ἀγορὰν ἀφιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν: …

1.- Derivados etimológicos de **παῖς** y de **ὀρθός**

I, 5, 13. ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα: καὶ τοὺς μὲν ὁπλίτας αὐτοῦ ἐκέλευσε μεῖναι τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας, …

I, 5, 14. ὁ δὲ Πρόξενος (ἔτυχε γὰρ ὕστερος προσιὼν καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν) εὐθὺς οὖν εἰς τὸ μέσον ἀμφοτέρων ἄγων ἔθετο τὰ ὅπλα καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν ταῦτα…

Texto 7: Después de leer una carta interceptada de Orontas al rey, demostrando así su traición a Ciro (esto no está en el texto), éste lo apresa y convoca a persas y griegos.

I, 6, 4. ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος συλλαμβάνει Ὀρόνταν, καὶ συγκαλεῖ εἰς τὴν ἑαυτοῦ σκηνὴν Πέρσας τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά, καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευσεν ὁπλίτας ἀγαγεῖν[1], τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὑτοῦ [2]σκηνήν.

[1] Infinitivo de aoristo de **ἄγω**
[2] **ἑαυτοῦ**

1.- Derivados etimológicos de **τέχνη** y de **σοφία / σοφός**

I, 6, 6. ἔφη δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε· παρεκάλεσα ὑμᾶς, ἄνδρες φίλοι, ὅπως σὺν ὑμῖν βουλευόμενος ὅ τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω περὶ Ὀρόντα τουτουί…

Texto 8: Nadie vuelve a ver a Orontas después de ser introducido en la tienda de Artapatas.

I, 6, 11. ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτου σκηνὴν εἰσήχθη[1], τοῦ πιστοτάτου τῶν Κύρου σκηπτούχων, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τεθνηκότα[2] οὐδεὶς εἶδε πώποτε, οὐδὲ ὅπως ἀπέθανεν οὐδεὶς εἰδὼς ἔλεγεν:

[1] De **εἰσάγω**
[2] Participio de Perf. de **θνήσκω**

1.- Derivados etimológicos de **παλαῖος** y de **γυνή**

I, 7, 1. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας σταθμοὺς τρεῖς παρασάγγας δώδεκα. ἐν δὲ τῷ τρίτῳ σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας: ἐδόκει γὰρ εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν τῷ στρατεύματι μαχούμενον:

Texto 9: Ciro se reúne con los oficiales griegos y deliberan sobre la batalla

I, 7, 2… Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων συνεβουλεύετό τε πῶς ἂν τὴν <u>μάχην</u> ποιοῖτο καὶ <u>αὐτὸς</u> παρῄνει[1] θαρρύνων τοιάδε·…

[1] De **παραινέω** (¿qué tiempo?)

1.- Derivados etimológicos de las palabras subrayadas

Texto 10: Todos están muy contentos con las palabras de Ciro y deseosos de conocer su recompensa en caso de victoria

I, 7, 8. οἱ δὲ ταῦτα ἀκούσαντες αὐτοί τε ἦσαν πολὺ προθυμότεροι καὶ τοῖς ἄλλοις ἐξήγγελλον. εἰσῆσαν[1] δὲ παρ᾽ αὐτὸν οἵ τε στρατηγοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τινὲς ἀξιοῦντες εἰδέναι[2] τί σφίσιν[3] ἔσται, ἐὰν κρατήσωσιν[4] ...

[1] 3ª p. pl. Imp. Ind. de **εἴσειμι**.
[2] Inf. de **οἶδα**.
[3] Dat. pl. de **σφεῖς**.
[4] 3ª p. pl. Aor. Subj. de **κρατέω**.

1.- Derivados etimológicos de las palabras **κρατία / κρατός** y **πολύς**

I, 7, 11. τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι ἑκατὸν καὶ εἴκοσι μυριάδες καὶ ἅρματα δρεπανηφόρα διακόσια. ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν Ἀρταγέρσης ἦρχεν: οὗτοι δ᾽ αὖ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν.

I, 7, 13. ταῦτα δὲ ἤγγελλον πρὸς Κῦρον οἱ αὐτομολήσαντες [ἐκ τῶν πολεμίων] παρὰ μεγάλου βασιλέως πρὸ τῆς μάχης, καὶ μετὰ τὴν μάχην οἳ ὕστερον ἐλήφθησαν τῶν πολεμίων ταὐτὰ ἤγγελλον.

Texto 11: Ciro avanza con las tropas pues supone el ataque del rey.

I, 7, 14. ἐντεῦθεν δὲ Κῦρος ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας τρεῖς συντεταγμένῳ τῷ στρατεύματι παντὶ καὶ τῷ Ἑλληνικῷ καὶ τῷ βαρβαρικῷ: ᾤετο γὰρ ταύτῃ τῇ ἡμέρᾳ μαχεῖσθαι βασιλέα:

1.- Derivados etimológicos de **χρόνος** y de **ὁμοῖος**

I, 7, 15-16. ἦν δὲ παρὰ τὸν Εὐφράτην πάροδος στενὴ μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς τάφρου ὡς εἴκοσι ποδῶν τὸ εὖρος: [16] ταύτην δὲ τὴν τάφρον βασιλεὺς ποιεῖ μέγας ἀντὶ ἐρύματος, ἐπειδὴ πυνθάνεται Κῦρον προσελαύνοντα.

Texto 12: Ciro y el ejército quedan dentro del espacio de la zanja y quedan al descubierto huellas del ejército del rey.

I, 7, 16-17. ταύτην δὴ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατιὰ παρῆλθε καὶ ἐγένοντο εἴσω τῆς τάφρου. ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οὐκ ἐμαχέσατο βασιλεύς, ἀλλ᾽ ὑποχωρούντων[1] φανερὰ ἦσαν καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη πολλά.

[1] Concuerda con **ἀνθρώπων**

1.- Derivados etimológicos de **ἕτερος** y de **μακρός**

Texto 13: Ciro entrega una recompensa al adivino Silano de Ambracia por un vaticinio

I, 7, 18. ἐνταῦθα Κῦρος Σιλανὸν καλέσας τὸν Ἀμπρακιώτην μάντιν ἔδωκεν αὐτῷ δαρεικοὺς τρισχιλίους, ὅτι τῇ ἑνδεκάτῃ ἀπ᾽ ἐκείνης ἡμέρᾳ πρότερον θυόμενος εἶπεν αὐτῷ ὅτι βασιλεὺς οὐ μαχεῖται[1] δέκα ἡμερῶν[2], …

[1] 3ª p. sing. Fut. Ind. de **μάχομαι**.
[2] **δέκα ἡμερῶν**: "en diez días"

1.- Derivados etimológicos de **νεκρός** y de **νέος**

Texto 14: Les parece a todos que el rey renuncia a luchar.

I, 7, 19. ἐπεὶ δ᾽ ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλυε βασιλεὺς τὸ Κύρου στράτευμα διαβαίνειν, ἔδοξε καὶ Κύρῳ καὶ τοῖς ἄλλοις ἀπεγνωκέναι[1] τοῦ μάχεσθαι: ὥστε τῇ ὑστεραίᾳ Κῦρος ἐπορεύετο ἠμεληκένως μᾶλλον.

[1] Infinitivo de Perf. de **ἀπογιγνώσκω**, que rige dativo

1.- Derivados etimológicos de **ὀδούς** y de **εὖ**

Texto 15: Ciro y los suyos descuidan la formación, caminando sin las armas.

I, 7, 20. τῇ δὲ τρίτῃ ἐπί τε τοῦ ἅρματος καθήμενος τὴν πορείαν ἐποιεῖτο καὶ ὀλίγους ἐν τάξει ἔχων πρὸ αὑτοῦ, τὸ δὲ πολὺ αὐτῷ[1] ἀνατεταραγμένον[2] ἐπορεύετο καὶ τῶν ὅπλων τοῖς στρατιώταις[3] πολλὰ ἐπὶ ἁμαξῶν ἤγοντο καὶ ὑποζυγίων.

[1] **"la mayor parte de los suyos"**
[2] Participio de Perf. de **ἀναταράσσω**
[3] **"de los soldados"** (no "para los soldados")

1.- Derivados etimológicos de **αἷμα** y de **σκοπέω**

3º Trimestre

*Para consultar los textos y localizar formas de los mismos:
http://www.perseus.tufts.edu/hopper/text.jsp?doc=Perseus%3Atext%3A1999.01.0201%3Abook%3D1%3Achapter%3D1%3Asection%3D1

*Los alumnos traducirán los textos anotados

Texto 1: Ciro se arma y encarga a los demás organizarse para la batalla

I, 8, 3. Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνεδύετο καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον[1].

[1] Sujeto de los dos infinitivos **ἐξοπλίζεσθαι** y **καθίστασθαι.**

1.- Derivados etimológicos de las palabras subrayadas

I, 8, 6-7. Κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο [λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν]. [7] οἱ δ᾽ ἵπποι πάντες [οἱ μετὰ Κύρου] εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια: εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.

PARA HACER

I, 8, 8. καὶ ἤδη τε ἦν μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι: ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε καὶ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο.

Texto 2: Ciro, junto con su intérprete Pires, ordena a Clearco mover el ejército

I, 8, 12. καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ[1] μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη[2]: …

[1] "hasta".
[2] ¿De qué tipo de optativo se trata?

1.- Derivados etimológicos de la palabra subrayada y de **ὕδωρ**

I, 8, 15. ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, πελάσας ὡς συναντῆσαι ἤρετο εἴ τι παραγγέλλοι: ὁ δ᾽ ἐπιστήσας εἶπε καὶ λέγειν ἐκέλευε πᾶσιν ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά.

Texto 3: Los bárbaros se dan a la fuga y los helenos se animan a perseguirlos, pero en orden

I, 8, 19. πρὶν δὲ τόξευμα[1] ἐξικνεῖσθαι ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ᾽ ἐν τάξει ἕπεσθαι.

[1] Sujeto del Infinitivo **ἐξικνεῖσθαι.**

1.- Derivados etimológicos de **ὑπνός** y de **φωνή**

I, 8, 24… καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν.

I, 8, 26. σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ᾽ ἐκεῖνον στῖφος: καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ᾽ εἰπὼν τὸν ἄνδρα ὁρῶ ἵετο ἐπ᾽ αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρός, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι.

I, 8, 27. Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ᾽ αὐτῷ.

Texto 4: Artapates, el chambelán, se abraza al cadáver de Ciro (no sale su nombre en el texto) y hay dos versiones sobre su muerte, o que lo manda el rey o que él mismo se suicida.

I, 8, 29. καὶ οἱ μέν φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι[1] αὐτὸν Κύρῳ[2], οἱ δ᾽ ἑαυτὸν ἐπισφάξασθαι[3] σπασάμενον τὸν ἀκινάκην: εἶχε γὰρ χρυσοῦν:

[1] De **ἐπισφάζω.** Entiéndase como un verbo gutural
[2] "sobre el cadáver de Ciro"
[3] Valor medio

1.- Derivados etimológicos de **μύθος** y de **φύσις**

Texto 5: Así murió Ciro, uno de los hombres más dignos y recordados de los persas

I, 9, 1. Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν τῶν μετὰ Κῦρον τὸν <u>ἀρχαῖον</u>[1] γενομένων βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ <u>πάντων</u> ὁμολογεῖται τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι[2].

[1] "después de Ciro el Grande".
[2] **Κύρου ἐν πείρᾳ γενέσθαι**: "haber llegado a conocer a Ciro".

1.- Derivados etimológicos de las palabras subrayadas

I, 9, 8. καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δ᾽ οἱ ἄνδρες: καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν.

Texto 6: Todas las ciudades se pasaban de buen grado al bando de Ciro, excepto Mileto

I, 9, 9. τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους πλὴν Μιλησίων: οὗτοι δὲ ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι[1] ἐφοβοῦντο αὐτόν.

[1] Inf. Aoristo de προίημι, "perseguir".

1.- Derivados etimológicos de la palabra subrayada y de **φόβος**

I, 9, 13. πολλάκις δ᾽ ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στερομένους ἀνθρώπους: ὥστ᾽ ἐν τῇ Κύρου ἀρχῇ ἐγένετο καὶ Ἕλληνι καὶ βαρβάρῳ μηδὲν ἀδικοῦντι ἀδεῶς πορεύεσθαι ὅπῃ τις ἤθελεν, ἔχοντι ὅ τι προχωροίη.

Texto 7: Ciro colocaba en el poder a aquéllos que no tenían miedo a correr peligros.

I, 9, 14… στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα[1] ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας[2], ἔπειτα δὲ καὶ ἄλλοις δώροις ἐτίμᾳ:

[1] 3ª pers. Sing. Imperfecto de **ὁράω**
[2] **ἧς κατεστρέφετο χώρας = τῆς χώρας ἥν κατεστρέφετο**

1.- Derivados etimológicos de **χείρ** y de **ψυχή**

Texto 8: Todos los soldados mercenarios preferían trabajar para Ciro

I, 9, 17… καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοί, οἳ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευσαν, ἔγνωσαν κερδαλεώτερον εἶναι Κύρῳ †καλῶς πειθαρχεῖν†[1] ἢ[2] τὸ κατὰ μῆνα κέρδος.

[1] Depende del infinitivo **εἶναι**.
[2] Partícula comparativa.

1.- Derivados etimológicos de las palabras **καλός** y **φώς**

I, 9, 26. πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε καὶ ἄρτων ἡμίσεα καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα: τούτοις ἥσθη Κῦρος: βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι.

Texto 9: El cadáver de Ciro es ultrajado, el rey cae sobre el campamento y los que estaban con Arieo huyen.

I, 10, 1. ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ ἡ χεὶρ ἡ δεξιά. βασιλεὺς δὲ [καὶ οἱ σὺν αὐτῷ] διώκων εἰσπίπτει εἰς τὸ Κύρειον στρατόπεδον: καὶ οἱ μὲν μετὰ Ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὐτῶν στρατοπέδου εἰς τὸν σταθμὸν ἔνθεν[1] ὡρμῶντο: …

[1] Adverbio relativo

1.- Derivados etimológicos de **γράφη** y de **κεφαλή**

I, 10, 5. ἔνθα δὴ βασιλεὺς μὲν ἀθροίζει τε τοὺς ἑαυτοῦ καὶ συντάττεται, ὁ δὲ Κλέαρχος ἐβουλεύετο Πρόξενον καλέσας (λησιαίτατος γὰρ ἦν, εἰ πέμποιέν τινας †ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον ἀρήξοντες†.

I, 10, 14. ὁ οὖν Κλέαρχος οὐκ ἀνεβίβαζεν ἐπὶ τὸν λόφον, ἀλλ᾽ ὑπ᾽ αὐτὸν στήσας τὸ στράτευμα πέμπει Λύκιον τὸν Συρακόσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον καὶ κελεύει κατιδόντας τὰ ὑπὲρ τοῦ λόφου τί ἐστιν ἀπαγγεῖλαι.

Texto 10: Los soldados, mientras descansan, no son conscientes de que Ciro ha muerto.

I, 10, 16. ἐνταῦθα δ᾽ ἔστησαν οἱ Ἕλληνες καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο: καὶ ἅμα μὲν ἐθαύμαζον ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο[1] οὐδ᾽ ἄλλος ἀπ᾽ αὐτοῦ οὐδεὶς παρήει[2]: οὐ γὰρ ᾔδεσαν[3] αὐτὸν τεθνηκότα[4], …

[1] ¿Qué tipo de optativo es?
[2] 3ª pers. Sing. Imperfecto de **πάρειμι**
[3] 3ª pers. Pl. Pluscuamperfecto de **οἶδα**
[4] Del verbo **θνήσκω**

1.- Derivados etimológicos de **ἀρχή** y de **πρῶτος**